§. ρν΄. Ταύτητι καὶ βάσανον ὁρισμε̃ εὗτε, καὶ καλῶς ἀποδεδομένε ὑπέθεντο, τὸ συναντιςρέφειν τῷ ὁριςῷ· τε̃το δὲ ἐςὶ, τὸ ὅτῳ ἂν προσήκει ὁ ὁρισμὸς, προσήκειν καὶ τὸ ὁριςόν· ὅτῳ δ᾽ ἂν μὴ ἐκεῖνος προσήκοι, μηδὲ τε̃το· Καὶ ἀνάπαλιν· Ἀμφοτέρωντε ἐπίσης τῶν αὐτῶν κατηγορεμένων, καὶ τῶν αὐτῶν ἀμφοτέρων, καὶ ἑκατέρε ἑκάτερον.

## Περὶ Διαιρέσεως.

§. ρνα΄.

Οὐδὲν ἐλάσσων ἡ παρὰ τῆς Διαιρέσεως ὄνησις, τῆς ἐκ τε̃ ὁρισμε̃ ὡμολόγηται· ὥσπερ γὰρ δι᾽ ἐκείνε, ὅτω καὶ διὰ ταύτης τὸ συνεπτυγμένως νοέμενον ἀναπτύσσεται· (§. ρια΄. ριέ.) ἐξ ἀμφοῖντε τὸ ἐναργὲς τοῖς νοήμασι περιγίνεται, τε̃ μὲν ἐκτιθεμένε τὰ γνωρίσματα, τῆς δὲ καταλεγέσης τὰ Εἴδη.

§. ρνβ΄. Ὁλοσχερέςερον μὲν ἂν τὴν Διαίρεσιν ἐξειληφόσι, τε̃ μέρη ἔχοντος ἂν εἴη εἰς αὐτὰ ταῦτα διανομή· ἢ τε̃ ὅλε ἀνάπτυξις δι᾽ ὧν ἔλαχε μερῶν. (1). Ἀλλ᾽ ἐπεὶ γὰρ ἡ τε̃ ἐνεργείᾳ ὅλε,

ὧν τὰς πολλὰς ἅμα ἐννοίας, δι᾽ ἐννοίας συγκεκριμένας παριςάνειν δυνάμεθα, ἀντικαθιςῶμεν ἀντὶ τῶν πολλῶν ἐκείνας, καὶ ὑπὸ μὲν τῇ Φωνῇ τε̃ ζώε, τῶν εἰρημένων τὰ πρῶτα συμπεριλαμβάνομεν, ὑπὸ δὲ τῇ τε̃ λογικε̃ τὰ δεύτερα, βραχυλογε̃ντες. Ὅρα Λώκ. Βιβ. Γ΄. περὶ τε̃ Νε̃. Κεφ. Γ. §. 10.

(1) Οὕτως ἀκριβέςερον ὑποδιαιρεῖν κοινῇ εἰώθασι τὴν Διαίρεσιν, τὴν μὲν τε̃ Γένες, φάσκοντες εἶναι εἰς Εἴδη· τὴν δὲ τε̃ ὅλε εἰς μέρη· τὴν δὲ τῆς Φωνῆς εἰς τὰ σημαινόμενα. Καὶ ἡ μὲν τῆς Φωνῆς, φασὶν, αὖθις τριττή· ἤτοι γὰρ ἡ συνώνυμος Φωνὴ διαιρεῖται εἰς τὰ ὑπ᾽ αὐτῆς δηλέμενα· οἷον ἡ Φωνὴ ζῶον εἰς ἄνθρωπον, καὶ ἵππον, κτ. ἃ καὶ τε̃ αὐτε̃ ὀνόματος, καὶ τῆς αὐτῆς ἐπίσης φύσεως ἐν μετοχῇ ἐςί· ζῶα γὰρ καὶ ἔςι καὶ λέγεται· ταῦτα δὲ τὰ συνώνυμα, ὡς εἰρήσεται· ἢ ἡ ὁμώνυμος, οἷον ἡ Κύων εἰς τὸν χερσαῖον, καὶ τὸν θαλάττιον· ταῦτα γὰρ ὁμώνυμα, ὧν ὄνομα μόνον κοινὸν ἐν ἑτερότητι φύσεως. Ἢ ἡ Ἀνάλογος, ἐπὶ τὰ κατὰ διαφέροντά τινα λόγον τῆς σημασίας κοινωνε̃ντα. Οἷον ἡ ὑγιεινὸν Φωνὴ εἰς τὸ φάρμακον, καὶ τὸ ἔρον, καὶ τὰ τοιαῦτα. Καὶ αὕτη μὲν ἡ τῆς Φωνῆς Διαίρεσις· ἡ δὲ τε̃ ὅλε εἰς μέρη, ἢ εἰς ἐσιώδη ταῦτα, καὶ Μεταφυσικὰ λεγόμενα· οἷον ὁ ἄνθρωπος, ὡς ὅλον, εἰς τὸ ζῶον καὶ τὸ λογικόν· ταυτὸν εἰπεῖν τὸ εἶδος εἰς τὸ γένος, καὶ τὴν Διαφοράν· ἢ εἰς Φυσικά· οἷον ὁ ἄνθρωπος εἰς σῶμα καὶ ψυχὴν, ἐξ ὧν οἱ ἐσιώδεις τῶν ὁρισμῶν, ὡς εἴρηται (§. ρλ΄.) ἀπαρτίζονται. Ἢ εἰς μέρη ἐν οἷς θεωρεῖται μέγεθος· Καὶ ταῦτα ἤτοι ὁμοιομερῆ, ὡς ἂν σὰρξ φέρε τμηθείη εἰς σαρκὸς τεμμάχια, καὶ λίθος εἰς λίθε, κτ., ἢ εἰς ἀνομοιομερῆ· ὡς ἂν ὁ βε̃ς κατατμηθείη, εἰς κεφαλὴν, καὶ τὰ λοιπὰ μελιζόμενος. Τελευταῖον δὲ καὶ ἡ τε̃ Γένες εἰς Εἴδη ἐςί· καὶ ἡ τε̃ Εἴδες εἰς ἄτομα· ἃς καὶ τῶν Καθόλε διαιρέσεις, ὀνομάζεσι.



ὅλε, διὰ τῶν ἐν αὐτῷ γνωρισμάτων ἀνάπτυξις (§. ρις΄.) ὁρισμὸς κυρίως ἐςίν· ἥτε τε̃ ποσότητι τὴν ὁλοσχέρειαν ἔχοντος, εἰς τὰ ἐξ ὧν συνολε̃ται λύσις, μεγέθει μὲν, κατατομὴ λέγεται, πλήθει δὲ συνιςαμένε, μερισμός· τε̃τε χάριν ἰδιαίτερον ἐνταῦθα τὴν Διαίρεσιν ὁριζόμεθα, διανομὴν εἶναι τε̃ ὅλε τε̃ δυνάμει, εἰς τὰ μέρη τὰ ὑπ᾽ αὐτό· τετέςι τε̃ Καθόλε εἰς τὰ κατωτέρω καὶ ὑποκείμενα.

§. ρνγ΄. Διαιρεῖται δὲ τὸ Καθόλε, ἤτοι ὡς Γένος εἰς Εἴδη, οἷον τὸ μέταλλον εἰς χρυσὸν, καὶ ἄργυρον, καὶ τλ. Καὶ ἐκ τῶν συμβεβηκότων τὸ χρῶμα εἰς τὸ λευκὸν, καὶ τὸ μέλαν, κτ. Ἢ ὡς Εἶδος εἰς ἄτομα· οἷον ὁ πλανήτης εἰς τὸν Κρόνον, καὶ τὸν Δία, κξ. Καὶ ἐκ τῶν συμβεβηκότων τὸ Εἶδος εἰς τὰ Ἀτομικὰ (§. ή.), οἷον ἡ λευκότης εἰς τὴν ἐν τῇδε τῇ χιόνι, καὶ τὴν ἐν τῷδε τῷ γάλακτι, ἡ δικαιοσύνη εἰς τὴν τε̃ Ἀριςείδε, καὶ τὴν τε̃ Φωκίονος. Δεῖ μέντοι ταῦτε γένη εἶναι ὀλιγοειδῆ, καὶ τὰ Εἴδη ὀλιγάριθμα· τὰ γὰρ ὑπὸ τὸ ζῶον Εἴδη καταλέξαι πάντα ε̉ ῥᾴδιον, τά, τε ὑπὸ τὸν ἄνθρωπον ἄτομα ἀριθμῆσαι ἀδύνατον· Ἢ ὡς Γένος διὰ τῶν διακριτικῶν διαφορῶν· οἷον τε̃ ζώε τὸ μὲν λογικὸν, τὸ δ᾽ ἄλογον· τε̃ ἀριθμε̃ τὸ μὲν περιττὸν, τὸ δ᾽ ἄρτιον. Ἢ ὡς Εἶδος διὰ τῶν συμβεβηκότων· οἷον τῶν ἀνθρώπων οἱ μὲν πλετε̃σιν, οἱ δὲ πένονται. Καὶ τε̃ κατ᾽ Εἶδος πάλιν συμβεβηκότος, δι᾽ ἑτέρων συμβεβηκότων, οἷον τῶν πλετέντων, οἱ μὲν φειδωλοὶ, οἱ δὲ ἐλευθέριοι. Ἢ ὡς αἰτιατὸν διὰ τῶν αἰτίων· οἷον τῶν ἁμαρτημάτων, τὰ μὲν ἐκ μοχθηρίας, τὰ δ᾽ ἐξ ἀσθενείας· καὶ τὰ μὲν ἐξ ἀγνοίας, τὰ δὲ κατ᾽ ἐπίγνωσιν· Ἢ ὡς αἴτιον διὰ τῶν αἰτιατῶν, οἷον ἡ τε̃ ἡλίε θερμαντικὴ δύναμις τὰ μὲν τήκει, τὰ δὲ σκληρύνει· Ἢ ὡς τὰ ἀποτελέσματα διὰ τε̃ τέλες· οἷον τῶν εὖ ποιέντων οἱ μὲν δι᾽ οἶκτον, οἱ δὲ πρὸς δόξαν.

§. ρνδ΄. Ἡ ἐπὶ τῇ πρώτῃ διαιρέσει τε̃ αὐτε̃ ὅλε διαφόρῳ λόγῳ γινομένη δευτέρα διανομὴ, Ἐπιδιαίρεσις καλεῖται· ἡ δὲ θατέρε τῶν ἀντιδιαιρεμένων μελῶν, ὡς ὅλε, ἐπὶ τὰ ἔτι μερικώτερα περαιτέρω χωρε̃σα λύσις, Ὑποδιαίρεσις· ὅτω διαιρῶ μὲν τὸν ἄνθρωπον εἰς ἄῤῥεν καὶ θῆλυ, ἐπιδιαιρῶ δὲ εἰς τὸν συνετὸν καὶ τὸν ἀσύνετον· ὑποδιαιρῶ δὲ τὸν Ἄνδρα εἰς τὸν πολεμικὸν καὶ τὸν ἀπόλεμον. Ἔνθα σημειωτέον, ὡς αἱ μὲν ὑποδιαιρέσεις δι᾽ ὀλίγε πεφύκασι χωρεῖν, τῆς τῶν Γενῶν, καὶ τῶν Εἰδῶν προόδε, ἐπὶ τὰ ἄτομα ταχέως ἐκπερατεμένης, ἐν οἷς ἀδιαι-

διαι-